# *ΑΡΙϹΤΟΦΑΝ(ΟΥϹ) ΓΡΑΜΜΑΤΙ(ΚΟΥ) Η ΥΠΟΘΕϹΙϹ*

ἔχων θυγατέρα δύϲκολοϲ, μητρὸϲ μέν, ἣν
ἔγημ᾽ ἔχουϲαν υἱόν, ἀπελείφθη τάχοϲ
διὰ τοὺϲ τρόπουϲ, μόνοϲ δ᾽ ἐπ᾽ ἀγρῶν διετέλει.
τῆϲ παρθένου δὲ Ϲώϲτρατοϲ ϲφοδρῶϲ ἐρῶν
προϲῆλθεν αἰτῶν· ἀντέπιφθ᾽ ὁ δύϲκολοϲ.
τὸν ἀδελφὸν αὐτῆϲ ἔπιθεν· οὐκ εἶχ᾽ ὅ τι λέγοι
ἐκεῖνοϲ. ἐμπεϲὼν δὲ Κνήμων εἰϲ φρέαρ
τὸν Ϲώϲτρατον βοηθὸν εἶχε διὰ τάχουϲ.
κατηλλάγη μὲν τῆι γυναικί, τὴν κόρην
τούτωι δ᾽ ἐδίδου γυναῖκα κατὰ νόμουϲ ἑκών.
τούτου δ᾽ ἀδελφὴν λαμβάνει τῶι Γοργίαι
τῶι τῆϲ γυναικὸϲ παιδί, πρᾶοϲ γενόμενοϲ.

ἐδίδαξεν εἰϲ Λήναια ἐπὶ Δημογένουϲ ἄρχοντ(οϲ) καὶ ἐνίκα. ὑπεκρίνατο Ἀριϲτόδημοϲ Ϲκαφεύϲ. ἀντεπιγράφετ(αι) Μιϲάνθρωποϲ.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/53 UNIVERSITÄT LEIPZIG